38 Οἱ τὰ ἴδια μοναστήρια καταλιμπάνοντες
οὐ λαμβάνουσιν ἃ προσήγαγον αὐτοῖς κινητὰ ὅσης
δήποτε ποσότητος ὄντα, κἂν μὴ συνέστη πρᾶξις
1 ὑπομνημάτων ἐπ᾿ αὐτοῖς. Ἐπὶ δὲ ταῖς δωρεαῖς
τῶν ἀκινήτων δεῖ τὰ νόμιμα φυλάττεσθαι, ἐπεὶ
οὐκ ἀναιρεῖται τῷ δωρησαμένῳ ἡ ἐκνίκησις.
2 Καὶ τοῦτο δὲ θεσπίζομεν, ὥστε μηδένα τῶν θεο-
φιλεστάτων ἐπισκόπων ἢ χωρεπισκόπων ἢ περιοδευ-
τῶν ἢ κληρικῶν ἄκοντας τοὺς λαϊκοὺς συνελαύνειν
πρὸς τὴν τῶν καρποφοριῶν τῶν ἐν τοῖς τόποις κα-
λουμένων ἀπαρχῶν ἤτοι προσφορῶν ἔκτισιν ὥσπερ τι
τέλος ταῦτα μεθοδεύοντας, ἢ καὶ γεωργοῖς μέν, ἐν
κλήρῳ δὲ καταλεγομένοις, καὶ μάλιστα ἐκείνοις, οἳ
μηδ᾿ ὑπὸ δεσποτείαν εἰσὶν αὐτῶν τῶν θεοφιλεστά-
των ἐπισκόπων ἢ τῶν κατ᾿ αὐτοὺς ἁγιωτάτων ἐκκλη-
σιῶν, ἢ τὰς καλουμένας ἀγγαρείας ἢ ἑτέρας τοιουτο-
τρόπους ἐπαχθείας ἢ ὑπηρεσίας ἐπιφέρειν, μηδ᾿ ἀφο-
ρισμοὺς τούτων ἕνεκα τῶν αἰτιῶν ἢ ἀναθεματισμοὺς
τούτοις ἐπάγειν καὶ τῆς τῶν ἁγίων μυστηρίων μετα-
λήψεως καὶ αὐτοῦ τοῦ σεβασμίου καὶ σωτηριώδους
βαπτίσματος, ὅπερ καὶ λέγειν ἀθέμιτον, ἐντεῦθεν
ἀποστερεῖν (τοῦτο γὰρ παρά τινων πεπονθέναι με-
μαθήκαμεν καὶ κώμας ὅλας ἤτοι καὶ ἀγροὺς καὶ κλη-
ρικοὺς κατὰ ταὐτὸν καὶ τοὺς ἔξω κληρικοὺς καθεστῶ-
τας ὑπὸ τοῖς τοιούτοις ἀφορισμοῖς ἤτοι ἀναθεματισμοῖς
γενομένους ) τῆς τοιαύτης ἀτοπωτάτης καὶ πάσης δυσσε-
βείας γεμούσης καὶ εἰς ὕβριν αὐτῆς τῆς ὀρθοδόξου
πίστεως ὁρώσης πράξεως κατὰ πάντα τρόπον εἰργο-
μένης καὶ μηδενὸς ἔθους κρατεῖν δυναμένου τὴν οὕτως
3 ἄλογον ἀπαίτησιν εἰσάγοντος. Καὶ γάρ ἐστι πρό-
δηλον, ὡς προσήκει μάλιστα ἕκαστον ἐκ τῶν οἰκείων
πόνων ἑκόντα τῷ θεῷ καὶ τοῖς ὑπηρετουμένοις αὐτῷ
προσφέρειν, ἅπερ ἂν αὐτὸς δοκιμάσοι , οὐ μὴν συνω-
θεῖσθαι πρὸς τοῦτο καὶ ἀναγκάζεσθαι καὶ ἀποροῦντα
ἴσως καὶ οὐδὲ τῶν ἐκ τῆς γεωργίας καρπῶν διά τινας
4 συμβαινούσας οἷα εἰκὸς ἀφορίας ἀπολαύοντα . Διὰ
γὰρ τοῦτο τὴν μὲν ἀνάγκην κωλύομεν, τὴν δ᾿ αὐθαί-
ρετον γνώμην τῶν προσφερόντων οὐ μόνον οὐκ εἴργο-
5 μεν, ἀλλὰ καὶ ἀποδεχόμεθα. Διὸ καὶ μεγίστοις
ἐπιτιμίοις ὀχυροῦντες τὰ παρ᾿ ἡμῶν ὁρισθέντα παρα-
κελευόμεθα τὸν θαρροῦντά τι παραβῆναι τῶν προα-
ναφερομένων αὐτῆς τε τῆς ἁγιωτάτης ἐκκλησίας, ἣν
ἐγκεχείρισται, καὶ τῶν αὐτῆς πραγμάτων ἐξωθεῖσθαι,
καὶ πάντα δὲ τοιοῦτόν τι πράττειν ἐπιχειροῦντα τῶν
πραγμάτων ἀποκινεῖσθαι τῶν διαφερόντων τοῖς οἰ-
κείοις , ὧν τὴν φροντίδα ἐμπεπίστευται, καὶ αὐτῆς
δὲ τῆς διοικήσεως, ἐπείπερ ἀνάξιον ἑαυτὸν ταύτης
καὶ αὐτῆς τῆς ἱερωσύνης δείκνυσι. πρὸς τούτοις δὲ
καὶ χρυσίου λιτρῶν δέκα προστίμῳ σωφρονιζέσθω.
6 Τὰ δὲ παρ᾿ ἡμῶν διὰ τοῦδε τοῦ θείου πραγματι-
κοῦ νόμου τυπωθέντα κρατεῖν καὶ παραφυλάττεσθαι
θεσπίζομεν κατὰ ταύτην μέντοι μόνην τὴν βασιλίδα
πόλιν καὶ τὴν αὐτῆς ἐνορίαν καὶ τοὺς λοιποὺς τόπους
καὶ κλίματα ὑπὸ τὴν χειροτονίαν τοῦ θρόνου τῆσδε
τῆς ἐνδόξου πόλεως καὶ τῶν ὑπ᾿ αὐτοῦ χειροτονου-
μένων θεοφιλεστάτων μητροπολιτῶν ἐπισκόπων, ὥστε
καὶ αὐτοὺς τοὺς ὑπὸ τῶν αὐτῶν μητροπολιτῶν ἐπι-
σκόπους τὴν ἐπισκοπὴν ἤτοι ἱερωσύνην καὶ τοὺς τὰς
λοιπὰς τὰς μνημονευθείσας ἡγεμονίας τε καὶ φροντί-
δας παραλαμβάνοντας τοῖς αὐτοῖς ὑπάγεσθαι τύποις
καὶ τούτους παραφυλάττειν.

*id est:*

Qui monasteria sua relinquunt, non recipiunt mobilia quae iis intulerunt, cuiuscumque quantitatis sunt, etiamsi gesta de iis confecta non fuerint.

1 ¶ In immobilium autem donatione iura observari oportet, cum revocatio donatori non adimatur.

2 ¶Etiam hoc sancimus, ut nemo religiosissimorum episcoporum vel chorepiscoporum vel visitatorum vel clericorum laicos invitos compellat ad luitionem proventuum qui in provincia primitiae vel munera vocantur, quae velut vectigal exigant, vel agricolis in clerum receptis et maxime illis, qui non sub dominio religiosissimorum episcoporum vel sacrosanctarum ecclesiarum ad eos pertinentium sunt, sive angarias quae dicuntur sive alia eiusmodi onera vel servitutes iniungat, vel interdicta vel anathemata iis imponat et inde eos (quod ne dici quidem sine iniuria potest) sacrorum mysteriorum communione atque ipso venerando salutarique baptismate privet (hoc enim quosdam passos esse comperti sumus et vicos integros vel adeo agros, et clericos pariter atque eos qui extra clericorum numerum sunt talibus interdictis vel anathematibus subiectos esse); eiusmodi ineptissima et omni impietate plena facta, quae etiam ad offensionem ipsius orthodoxae fidei spectant, omnimodo prohibita sint neque ulla consuetudo obtinere valeat, quae tam absurdam exactionem inducat.

3 ¶ Obvium enim est unumquemque potissimum sua sponte ex operis suis deo eiusque ministris conferre debere quae ipsi videbuntur, non compelli ad id et cogi fortasse etiam inopem eumque, cui fructus ex agricultura propter casus, ut fit, non provenerunt.

4 ¶ Nam per hoc necessitatem quidem tollimus, voluntariam autem conferentium largitatem non modo non reprimimus, sed etiam collaudamus.

5 ¶ Quamobrem etiam gravissimis poenis quae a nobis sancita sunt munientes iubemus eum, qui supra relatorum aliquid violare ausus fuerit, et ex ipsa sacrosancta ecclesia quae ei commendata est eiusque rebus expelli omnesque, qui tale quid facere conentur, removeri a rebus quae competunt domibus, quarum cura eis commissa est, et ab ipsa administratione, quoniam indignos se tam hac quam ipso sacerdotio praebent, praeterea et decem librarum auri poena plectantur.

6 ¶ Quae autem a nobis per hanc sacram legem pragmaticam statuta sunt, ea valere et observari constituimus in hac tantummodo regia urbe eiusque territorio et in reliquis locis regionibusque, qui sunt sub dispositione sedis huius inclitae urbis vel beatissimorum episcoporum metropolitanorum qui ab ea ordinati sunt, ut et qui episcopi sub ipsis metropolitis episcopatum vel sacerdotium vel reliquas praefecturas administrationesque commemoratas meruerunt, isdem formis subiciantur easque observent.